καὶ ἐπὶ τὸν οἶνον καὶ ἐπὶ τὸ ἔλαιον καὶ ὅσα ἐκφέρει ἡ γῆ καὶ ἐπὶ
τοὺς ἀνθρώπους καὶ ἐπὶ τὰ κτήνη καὶ ἐπὶ πάντας τοὺς πόνους
τῶν χειρῶν αὐτῶν. — [12]καὶ ἤκουσεν Ζοροβαβελ ὁ τοῦ Σαλαθιηλ 12
ἐκ φυλῆς Ιουδα καὶ Ἰησοῦς ὁ τοῦ Ιωσεδεκ ὁ ἱερεὺς ὁ μέγας καὶ
πάντες οἱ κατάλοιποι τοῦ λαοῦ τῆς φωνῆς κυρίου τοῦ θεοῦ αὐτῶν
καὶ τῶν λόγων Αγγαιου τοῦ προφήτου, καθότι ἐξαπέστειλεν αὐτὸν
κύριος ὁ θεὸς αὐτῶν πρὸς αὐτούς, καὶ ἐφοβήθη ὁ λαὸς ἀπὸ προσ-
ώπου κυρίου. [13]καὶ εἶπεν Αγγαιος ὁ ἄγγελος κυρίου τῷ λαῷ Ἐγώ 13
εἰμι μεθ᾽ ὑμῶν, λέγει κύριος. [14]καὶ ἐξήγειρεν κύριος τὸ πνεῦμα Ζο- 14
ροβαβελ τοῦ Σαλαθιηλ ἐκ φυλῆς Ιουδα καὶ τὸ πνεῦμα Ἰησοῦ τοῦ
Ιωσεδεκ τοῦ ἱερέως τοῦ μεγάλου καὶ τὸ πνεῦμα τῶν καταλοίπων
παντὸς τοῦ λαοῦ, καὶ εἰσῆλθον καὶ ἐποίουν ἔργα ἐν τῷ οἴκῳ κυρίου
παντοκράτορος θεοῦ αὐτῶν [15]τῇ τετράδι καὶ εἰκάδι τοῦ μηνὸς τοῦ 15
ἕκτου τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου τοῦ βασιλέως.
[1]Τῷ ἑβδόμῳ μηνὶ μιᾷ καὶ εἰκάδι τοῦ μηνὸς ἐλάλησεν κύριος ἐν 2
χειρὶ Αγγαιου τοῦ προφήτου λέγων [2]Εἰπὸν δὴ πρὸς Ζοροβαβελ τὸν 2
τοῦ Σαλαθιηλ ἐκ φυλῆς Ιουδα καὶ πρὸς Ἰησοῦν τὸν τοῦ Ιωσεδεκ
τὸν ἱερέα τὸν μέγαν καὶ πρὸς πάντας τοὺς καταλοίπους τοῦ λαοῦ
λέγων [3]Τίς ἐξ ὑμῶν ὃς εἶδεν τὸν οἶκον τοῦτον ἐν τῇ δόξῃ αὐτοῦ 3
τῇ ἔμπροσθεν; καὶ πῶς ὑμεῖς βλέπετε αὐτὸν νῦν; καθὼς οὐχ ὑπάρ-
χοντα ἐνώπιον ὑμῶν. [4]καὶ νῦν κατίσχυε, Ζοροβαβελ, λέγει κύριος, 4
καὶ κατίσχυε, Ἰησοῦ ὁ τοῦ Ιωσεδεκ ὁ ἱερεὺς ὁ μέγας, καὶ κατ-
ισχυέτω πᾶς ὁ λαὸς τῆς γῆς, λέγει κύριος, καὶ ποιεῖτε· διότι μεθ᾽
ὑμῶν ἐγώ εἰμι, λέγει κύριος παντοκράτωρ, [5]καὶ τὸ πνεῦμά μου 5
ἐφέστηκεν ἐν μέσῳ ὑμῶν· θαρσεῖτε. [6]διότι τάδε λέγει κύριος 6
παντοκράτωρ Ἔτι ἅπαξ ἐγὼ σείσω τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ
τὴν θάλασσαν καὶ τὴν ξηράν· [7]καὶ συσσείσω πάντα τὰ ἔθνη, καὶ 7
ἥξει τὰ ἐκλεκτὰ πάντων τῶν ἐθνῶν, καὶ πλήσω τὸν οἶκον τοῦτον
δόξης, λέγει κύριος παντοκράτωρ. [8]ἐμὸν τὸ ἀργύριον καὶ ἐμὸν τὸ 8
χρυσίον, λέγει κύριος παντοκράτωρ. [9]διότι μεγάλη ἔσται ἡ δόξα 9
τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην, λέγει κύριος παντο-
κράτωρ· καὶ ἐν τῷ τόπῳ τούτῳ δώσω εἰρήνην, λέγει κύριος παντο-
κράτωρ, καὶ εἰρήνην ψυχῆς εἰς περιποίησιν παντὶ τῷ κτίζοντι τοῦ
ἀναστῆσαι τὸν ναὸν τοῦτον.

12 εκ φυλης] pr. ο A: cf. 1 || 13 ο S$^{c}$W*L*] > BS*AQ*C* (S*† per errorem αγγεος αγγεος pro αγγαιος αγγελος κυριου; S ubique αγγεος pro αγγαιος) | κυριου AS$^{c}$WSy$^{txt}$] + εν αγγελοις κυριου BS*Q*LC*: teste Sy$^{mg}$ ex θ′ || 14 εισηλθεν S*W*† | εργα BSVW*C*†] pr. τα rel.

21 τω εβδ. μηνι] τω μ. τω εβδ. BS† || 3 υμων 1$^{0}$] + περιλειφθεις S$^{c}$† | οιδεν A || 4 ιησου — μεγας] ιησους ο ιερευς W† | μεθ υμων / εγω BSQW] tr. A*LC* | παντοκρατωρ] pr. ο BS*†: item S*† in 6 || 6 ταδε > BS*† | και paenult. > S*† || 7 πλησω] πληρωσω A